μόν. πρότασίν τε κοινὴν μᾶλλον ἢ λόγον εἰς μνήμην θετέον· ἀρχῆς γὰρ καὶ ὑποθέσεως εὐπορῆσαι μετρίως χαλεπόν.

Ἔτι τὸν ἕνα λόγον πολλοὺς ποιεῖν ἐθιστέον ὡς ἀδηλότατα κρύπτοντας. εἴη δ᾽ ἂν τὸ τοιοῦτον, εἴ τις ὅτι πλεῖστον ἀφισταίη τῆς συγγενείας περὶ ὧν ὁ λόγος. ἔσονται δὲ δυνατοὶ τῶν λόγων οἱ μάλιστα καθόλου τοῦτο πάσχειν, οἷον ὅτι οὐκ ἔστι μία πλειόνων ἐπιστήμη· οὕτω γὰρ καὶ ἐπὶ τῶν πρός 164a τι καὶ ἐπὶ τῶν ἐναντίων καὶ συστοίχων ἐστίν.

Δεῖ δὲ καὶ τὰς ἀπομνημονεύσεις καθόλου ποιεῖσθαι τῶν λόγων, κἂν ᾖ διειλεγμένος ἐπὶ μέρους· οὕτω γὰρ καὶ πολλοὺς ἐξέσται τὸν ἕνα ποιεῖν. ὁμοίως δὲ καὶ ἐν ῥητορικοῖς ἐπὶ τῶν ἐνθυμημάτων. αὐτὸν δ᾽ ὅτι μάλιστα φεύγειν ἐπὶ τὸ καθόλου φέρειν τοὺς συλλογισμούς. ἀεί τε δεῖ σκοπεῖν τοὺς λόγους, εἰ ἐπὶ κοινῶν διαλέγονται· πάντες γὰρ οἱ ἐν μέρει καὶ καθόλου διειλεγμένοι εἰσί, καὶ ἔνεστιν ἐν τῇ κατὰ μέρος ἡ τοῦ καθόλου ἀπόδειξις διὰ τὸ μὴ εἶναι συλλογίσασθαι μηδὲν ἄνευ τῶν καθόλου.

Τὴν δὲ γυμνασίαν ἀποδοτέον τῶν μὲν ἐπακτικῶν πρὸς νέον, τῶν δὲ συλλογιστικῶν πρὸς ἔμπειρον. πειρατέον δὲ λαμβάνειν παρὰ μὲν τῶν συλλογιστικῶν τὰς προτάσεις, παρὰ δὲ τῶν ἐπακτικῶν τὰς παραβολάς· ἐν τούτῳ γὰρ ἑκάτεροι γεγυμνασμένοι εἰσίν. ὅλως δ᾽ ἐκ τοῦ γυμνάζεσθαι διαλεγόμενον πειρατέον ἀποφέρεσθαι ἢ συλλογισμὸν περί τινος ἢ λύσιν ἢ πρότασιν ἢ ἔνστασιν, ἢ εἰ ὀρθῶς τις ἤρετο ἢ εἰ μὴ ὀρθῶς, ἢ αὐτὸς ἢ ἕτερος, καὶ παρὰ τί ἑκάτερον.

---

**32** εἰς λόγον ἢ AB *quam positionem in* Bo **33** ἀρχῶν—ὑποθέσεων Bo (contra Al$^{c}$) **35** τὸ τοιοῦτο δ᾽ ἂν εἴη u Bo **36** ἀφίσταιτο u, corr. C Leo$^{p}$ ἀφίσταται corr. A **37** λόγοι Leo$^{l}$ ‖ post μάλιστα add. δύνανται u, post πάσχειν AB Al$^{l}$, post κ. Leo$^{l}$ Bo tr. (contra Al$^{p}$) ‖ τοῦτο] τὸ pr. C **164a 2** εἰσί C *erit* Pacius **6** $^{2}$ἐπὶ om. u, pr. C **8** κοινῶν Cu πλειόνων A πλειόνων κοινῶν B Al$^{l}$ Bo τῶν καθόλου Al$^{p}$ τῶν πλειόνων Leo$^{p}$ **9** ἔστιν C ‖ τοῖς Cu **11** ἄνευ corr. C ‖ τῶν] τοῦ Bk. edd. pr. **14** ἐκλαμβάνειν C **15** τούτοις u Leo$^{c}$ **17** ἀποφαίνεσθαι u ‖ παρά u **18** πρότασιν—λύσιν Bo (contra Al$^{c}$) ‖ ἢ ἔνστασιν om. C **19** ἑκάτερος u Bo tr. Leo$^{p}$

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408701080/211 UNIVERSITÄT LEIPZIG